eul_wid: jco-aa

*Ἀνταγόρας ὁ Ῥόδιος* · Antagoras of Rhodes

## Epigrams

*Ἐπιγράμματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἐπική* Epic (Homeric)
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

book 1 Ἐν δοιῇ μοι θυμός, ὅ τοι γένος ἀμφίσβητον, ἤ σε θεῶν τὸν πρῶτον ἀειγενέων, Ἔρος, εἴπω, τῶν ὅσσους Ἔρεβός τε πάλαι βασίλειά τε παῖδας γείνατο Νὺξ πελάγεσσιν ὑπ’ εὐρέος Ὠκεανοῖο· ἢ σέ γε Κύπριδος υἷα περίφρονος, ἠέ σε Γαίης, ἢ Ἀνέμων· τοῖος σὺ κακὰ φρονέων ἀλάλησαι ἀνθρώποις ἠδ’ ἐσθλά· τὸ καὶ σέο σῶμα δίφυιον.

book 2 Μνήματι τῷδε Κράτητα θεουδέα καὶ Πολέμωνα [para]ἔννεπε κρύπτεσθαι, ξεῖνε, παρερχόμενος, ἄνδρας ὁμοφροσύνῃ μεγαλήτορας, ὧν ἀπὸ μῦθος [para]ἱερὸς ᾔσσεν δαιμονίου στόματος, καὶ βίοτος καθαρὸς σοφίας ἐπὶ θεῖον ἐκόσμει [para]αἰῶν’ ἀστρέπτοις δόγμασι πειθόμενος.

book 3 Ὦ ἴτε Δήμητρος πρὸς ἀνάκτορον, ὦ ἴτε μύσται, [para]μηδ’ ὕδατος προχοὰς δείδιτε χειμερίους· τοῖον γὰρ Ξενοκλῆς ὁ Ξείνιδος ἀσφαλὲς ὔμμιν [para]ζεῦγμα διὰ πλατέος τοῦδ’ ἔβαλεν ποταμοῦ.